τί με πρὸϲ ναοὺϲ ἄγαγεϲ ἄγαγεϲ,
ὦ παῖ τοῦ τᾶϲ Τροίαϲ πύργουϲ
ἐλθόντοϲ κλεινᾶι ϲὺν κώπαι
χιλιοναύτα μυριοτευχοῦϲ
†Ἀτρειδᾶν τῶν κλεινῶν†;

Ιφ. ἰὼ δμωαί,
δυϲθρηνήτοιϲ ὡϲ θρήνοιϲ
ἔγκειμαι, τᾶϲ οὐκ εὐμούϲου
μολπᾶϲ ἀλύροιϲ ἐλέγοιϲ, αἰαῖ,
ἐν κηδείοιϲ οἴκτοιϲιν.
ἆταί μοι ϲυμβαίνουϲ' ἆται
ϲύγγονον ἁμὸν κατακλαιομέναι
†ζωᾶϲ, οἵαν ἰδόμαν†
ὄψιν ὀνείρων
νυκτὸϲ τᾶϲ ἐξῆλθ' ὄρφνα.
ὀλόμαν ὀλόμαν·
οὐκ εἴϲ' οἶκοι πατρῶιοι·
οἴμοι ⟨μοι⟩ φροῦδοϲ γέννα.
φεῦ φεῦ τῶν Ἄργει μόχθων.